264. Tit. sep. Timilae, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. integram c. aetomate, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. T. B. Mitford, *Opuscula Atheniensia* III 1960, 182/4 n. 3, c. del. et im. ph. fig. 4. Vid. etiam O. Masson, *ICS* 172 n. 154a, c. im. ph. pl. XX, 3.

Ζώχαρις κατέστασε τᾶι γυναικὶ
Τιμίλαι.

265. Tit. sep. Divinnae, Apsychi filiae, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Tabulam lap. calc. quadratam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 184/5 n. 4, c. del. et im. ph. fig. 6. Vid. etiam O. Masson, *ICS* 173 n. 154c, c. im. ph. pl. XIX, 5.

Διϝίν(ν)ας
τᾶς Ἀψύ-
χω.

2/3. ἀψύ|χω Masson.

266. Tit. sep. Timocyprae, Maneos uxoris, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. harenarii, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 186/7 n. 5, c. del. et im. ph. fig. 7. Vid. etiam O. Masson, *ICS* 172/3 n. 154b, c. im. ph. pl. XX, 4.

Τιμοκύπρα
ἠμὶ γυνὰ Μάνη-
ϝος τῶ Στα-
σάνορος.

267. Tit. sep. Staseos, Stasivoeci f., s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. integram, c. anaglypho ephebi, titulo ornatam litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 187/8 n. 6, c. del. et im. ph. fig. 8. Vid. quoque P. Dikaios, *A Guide to the Cyprus Museum*^{2}, 1953, 87, c. im. ph. pl. XX, 4; O. Masson, *ICS* 177/8 n. 165, c. imm. ph. pl. XXIII, 1/2.

Στάσιϝος
τῶ Στασιϝο-
ίκων ἡμί.

268. Tit. sep. Timagorae, Geryos f., s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. rudem quadratam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 188 n. 7, c. del. et im. ph. fig. 9. Vid. etiam O. Masson, *ICS* 173 n. 154d, c. im. ph. pl. XXI, 1.

Τιμαγόραυ τῶ Γήρυϝός ἠμι.

Τήρυϝός vel Γήρυϝός Mitford: Γέρυϝός Masson.

269. Tit. sep. Timocretis fullonis, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. quadratam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 188/90 n. 8, c. del. et im. ph. fig. 10. Vid. etiam O. Masson, *ICS* 176 n. 162b, c. im. ph. pl. XXII, 1, qui in vs. 2 γναφῖος (γναφῆος) mavult. Cf. n. 286 infra.

Τιμοκρέτεος τῶ Τιμοάνακτο-
ς τῶ γναφίος ἠμί.

270. Tit. sep. Zogorae, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. rudem, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 190/1 n. 9, c. del. et im. ph. fig. 11. Vid. etiam O. Masson, *ICS* 176 n. 162c.

Ζωγόραυ ἠμὶ
[τῶ ---]jαυ.

Patris nomen Ὀνασίjας aut Στασίjας fuisse patet.

271. Tit. sep. Silasereos(?), s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. infra fractam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. T. B. Mitford, *Minos* VII 1961/3, 17/18 n. 2, c. del. et im. ph. pl. II. Vid. etiam O. Masson, *ICS* 396/7 n. 167b. Ex eodem sepulcro provenit n. 265 supra. Nomen ignotum videtur, sed fortasse defunctum hunc Phoenicium habemus.

Σιλασέριϝο(ς)(?).

Paene aequo iure primam litteram vel *ti* vel *ka* interpretari possis. Καλασήρ. Masson.

272. Tit. sep. Aristiae, Glouos(?) f., s. V/IV^a. — *Marium(?)*, nunc *Nicosiae* in museo. Stelam lap. calc. quadratam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. T. B. Mitford, *Minos* VII 1961/3, 15/17 n. 1, c. del. et im. ph. pl. II. Vid. etiam O. Masson, *ICS* 338 n. 341 b, c. im. ph. pl. LVIII, 5, 403.

'Αριστίjαυ ἠμὶ
τῶ Γλοῦϝο(ς)(?).

273. Tit. sep. Onasitimae, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Schwyzer, *DGE* 683, 5. Tractant denuo T. B. Mitford, *Minos loc. cit.*, 16 adn. 2; O. Masson, *ICS* 171 n. 153, c. del. fig. 41 et im. ph. pl. XX, 1, qui bibliographiam anteriorem praebet. *Sinistrorsum.*

'Ονάϊjος κὰς Φαλασᾶ[ς με(?)]
ἐπέστασαν τᾶι κασινήται
'Ονασιτίμαι.

274. Tit. sep. quo filiam honorat Philonidas, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. infra fractam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 19/20 n. 4, c. del. et im. ph. pl. III. Vid. quoque O. Masson, *ICS* 397 n. 167c.

Φιλωνίδας τᾶι παιδὶ
ἐπέ⟨σ⟩τασε.

275. Tit. sep. Zoili, s. V/IV^a. — *Ibid.(?)*, nunc eodem in museo. Stelam lap. calc. putrem, c. tit. evanido litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 20/1 n. 5, c. del. et im. ph. pl. IV. Vid. etiam O. Masson, *loc. cit.* n. 167d. Patris nomen aut Onasias aut Stasias fuisse videtur.

Ζωΐλω ἠμὶ [τῶ --]
σίjαυ.

276. Tit. sep. Damoclis, Damotychi f., s. V/IV^a. — *Ibid. (?)*, nunc eodem in museo. Stelam lap. calc. et infra et supra fractam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. idem, *loc. cit.*, 21/2 n. 6, c. del. et im. ph. pl. IV. Vid. etiam O. Masson, *loc. cit.* n. 167e.

[Δα]μοκ⟨λέ⟩ϝεό(ς)(?)
ἠμι τῶ Δαμοτύχω.

Nomen defuncti incertum est, cum tertia littera *ja* valere videatur.

277. Tit. sep. Aristilae Salaminiae, Onasios filiae, in. s. IV^a(?). — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. c. aetomate et anaglypho sedentis mulieris, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. T. B. Mitford, *Minoica, Festschrift zum 80. Geburtstag von Johannes Sundwall*, 1958, 274/5 n. 3, c. del. fig. 5, ex im. ph. quam ei in vico *Polis-tis-Chrysochou* breviter inspicere licuit. Lapis postea a curatore Cypriorum museo emptus, ab A. H. S. Megaw commemoratus est, *JHS* LXXVIII 1958, *Archaeological Reports* 46, c. im. ph. pl. 4, *c.* Vid. etiam O. Masson, *ICS* 179 n. 166, c. imm. ph. pl. XXIII, 3/4.

'Αριστίλα ά
Σελαμινίja
'Ονάσιϝος.

278. Tit. sep. Geretis, Onasicypri f., s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc., c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, commemorat V. Karageorghis, *BCH* LXXXV 1961, 274 n. 2, c. im. ph. 273 fig. 25. Scribit amicissime nobis T. B. Mitford sibi videri et ex im. ph. et ex ipso lapide sic esse interpretandum titulum.

Γέρης ὁ 'Ονα-
σικύπρων
τῶ Τίμωϝός
ἠμι.

--ρης ὁ 'Ονα|σικρέτεος|(τῶ) --υϝός ἠμι Karageorghis.

279. Tit. sep. Eudami, Eumili f., s. V/IV^a. — *Ibid. (?)*, nunc eodem in museo. Stelam lap. calc. rudem, supra et infra fractam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. T. B. Mitford, *Opuscula Atheniensia* III 1960, 197 n. 14, c. del. et im. ph. fig. 16. Vid. etiam O. Masson, *ICS* 336 n. 340, c. im. ph. pl. LVIII, 2.

Εὐδάμω ἠμὶ
τῶ Εὐμίλω.

280. Tit. sep. Archo- - -, Diiphili(?) f., s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc., c. tit. a sinistra evanido litteris Cypriis *sinistrorsum* scriptis expresso. R. Meister, *Die gr. Dialekte* II, 1889, 175 n. 25*i*, recensuit T. B. Mitford, *Minos* VII 1961/3, 46 adn. 36. Vid. etiam O. Masson, *ICS* 158 n. 107, c. bibl.

'Αρχο[- - - τῶ]
Δι[φίλω(?) ἠμί].

'Αρά Δι priores.

281. Tit. sep. Timoos, fabri aerarii, s. V/IV^a. — *Marium*, nunc *Nicosiae* in museo. Stelam lap. calc., c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. T. B. Mitford, *BICS* V 1958, 58/60 n. 1, c. del. et im. ph. pl. V. Vid. etiam O. Masson, *ICS* 337 n. 341, c. imm. ph. pl. LVIII, 3/4.

Τίμωϝός ἠ-
μι τῶ χακοτρί-
ϝω.

In vss. 2/3 nomen proprium patris videre mavult Masson.

282. Tit. sep. Timi, fabri aerarii, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Frag. stelae lap. haren. a dextra tantum integrum, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 59/60 n. 2, c. del. et im. ph. pl. VI. Vid. etiam O. Masson, *ICS* 337/8 n. 341a.

Τίμω τῶ χαλκοϝο[ρ]-
γῶ.

283. Tit. sep. Timagorae, fabri aerarii, s. V/IV^a. — *Ibid.*, nunc eodem in museo. Lapidem haren. quadratum, procul dubio stelae partem, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, tractat id., *loc. cit.*, 59/60 n. 3, c. del. et im. ph. pl. VII. Vid. etiam O. Masson, *ICS* 165/6 n. 137, c. del. fig. 34 et im. ph. pl. XVII, 4, qui demonstrat hunc tit. iamdudum ab H. A. Tubbs, *JHS* XI 1890, 64/5 n. 7, esse editum, quod praetermiserat Mitford.

Τιμαγόραϝ
τῶ χακῆος.

Σιγέως Tubbs; 'nomen proprium' Masson.

284. Tit. sepulcralis, s. IV^a(?). — *Ibid.* O. Masson, *ICS* 161/2 n. 123, c. im. ph. pl. XVI, 1. Titulum litteris Cypriis expressum, quem ut Νικ(ο)κρατίϝος | ἠμί interpretatus est Masson, Munro secutus, nunc ut Νικαγοράτιϝός | ἠμι, n. 120 supra collato, legunt Masson et A. Heubeck, *Kadmos* I 1962, 152.

285. Tit. sep. matris Hebdomaei et Timagorae, ex. s. IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. albi, quam commemorat A. H. S. Megaw, *JHS* LXXVIII 1958, *Archaeological Reports*, 46, ed. T. B. Mitford, *AJA* LXV 1961, 93/4 n. 1, c. im. ph. pl. 37. Vid. etiam J. et L. Robert, *REG* LXXV 1962, 210 n. 324. De purpurariis disserunt breviter Mitf. atque Robb. Cf. O. Masson, *ICS* 180 adn. 2.

Ἑβδομαῖος
πορφυρεὺς
τῆι μητρὶ
καὶ Τιμαγόρας
Στασιοίκου.

286. Tit. sep. Onasili fullonis, ex. s. IV^a. — *Ibid.*, nunc eodem in museo. Stelam lap. calc. ed. id., *loc. cit.*, 94/9 n. 2, c. im. ph. ectypi pl. 37. Alius fullo Mariensis in n. 269 supra invenitur. De nomine Timagoratis agunt O. Masson et A. Heubeck, *Kadmos* I 1962, 151/2, qui exempla alia generis eiusdem proferunt.

Ἐπέστη-
σεν ἡ γυ-
νὴ Τιμα-
γόρατις Ἀ-
ελλαίου Ὀν-
ασίλωι γ-
ναφεῖ.

287. Tit. in basi poculi incisus, s. IV^a. — *Ibid.(?)* ex sepulcro, nunc eodem in museo. Vas fictile Atticum, in quo incisus est tit. litteris Cypriis *sinistrorsum* scriptis expressus, ed. T. B. Mitford, *Opuscula Atheniensia* III 1960, 191/2 n. 10, c. del. et im. ph. fig. 12. Vid. etiam O. Masson, *ICS* 176 n. 162a.

Ἀρισταγόραυ.

288. Tit. sep. Timocyprae, Onasicypri filiae, s. VI/V^a. — *Vialia*, vicus VIII m.p. Euraquilonem versus a Mario distans, nunc *Nicosiae* in museo. Stelam lap. calc. oblongam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 192/3 n. 11, c. del. et im. ph. fig. 13. Sepulcra aetatis antiquioris ibi inveniri commemorat ed. Vid. etiam O. Masson, *ICS* 188 n. 175, c. im. ph. pl. XXIV, 5.

Τιμοκύπρας
τᾶ(ς) Ὀνασικύπρω.

289. Tit. sep. Onasili, Onasicretae f., s. V^a (?). — *Kriton Terra*, vicus VI m.p. meridiem versus a Mario distans, nunc *Ktima* in museo. Stelam lap. calc. oblongam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *loc. cit.*, 194/6 n. 13, c. del. et im. ph. fig. 15. Vid. etiam O. Masson, *ICS* 136/7 n. 81, c. im. ph. pl. XI, 3.

Ὀνασίλω
Ὀνασικ-
ρέτεο(ς).

290. Tit. sep. Stasagorae, Onasili f., s. V/IV^a. — *Kritou Terra*, nunc *Nicosiae* in museo. Lapidem quadratum calc., fortasse ex stela sectum, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. T. B. Mitford, *Minos* VII 1961/3, 22/4 n. 7, c. del. et im. ph. pl. IV. Vid. etiam A. H. S. Megaw, *JHS* LXXVII 1957, *Archaeological Reports*, 26; O. Masson, *ICS* 137 n. 82, c. im. ph. pl. XI, 4.

Στασαγόραυ τῷ [Ὀ]-
νασίλω ἡμί.

1. τῷ non legit sed haesitanter supplet Masson.

291. Tit. sep. Timocretis, Timocharios f., s. IV^a. — *Ibid.*, nunc *Ktima* in museo. Stelam lap. calc. albi, in duas partes fractam, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. id., *Opuscula Atheniensia* III 1960, 193/4 n. 12, c. del. et im. ph. fig. 14. Vid. etiam O. Masson, *ICS* 136 n. 80, c. im. ph. pl. XI, 2, qui tit. melius exscribere potuit.

Τιμοκρέτης ὁ Τιμοχά-
ριϝος πᾶς.

Τιμοκρετέ/αυ Χά/ριϝος βα(σιλῆϝος) Mitford.

292. Dedicatio Zoili Apollini Cyprio, s. III^a. — *Soli*, nunc *Nicosiae* in museo. Basim lap. calc. albi ed. T. B. Mitford, *AJA* LXV 1961, 134 n. 34, c. im. ph. ectypi pl. 50. Vid. etiam J. et L. Robert, *REG* LXXV 1962, 211 n. 340.

Ἀπόλλωνι Κυπρί-
ωι Ζωΐλος ὑπὲρ
τοῦ υἱοῦ Ζωΐλου.

De Apolline Cyprio, alibi ignoto, disserit ed., qui Venerem Cypriam apud Amathusios citat.

293. Epigoni Theodorum, Demetrii f., ex Arsinoe Pamphyliorum, Charadri praefectum atque uxorem filiosque eius honorant, a. 240/20^a (?). — *Morphou*, vicus XI m.p. Euraquilonem versus a Solis distans, nunc *Nicosiae* in museo. Tabulam marm. albi integram ed. I. K. Peristianis, Γενικὴ Ἱστορία τῆς νήσου Κύπρου, 1910, 950 n. 39; denuo tractat T. B. Mitford, *AJA loc. cit.*, 134/6 n. 35, c. im. ph. ectypi pl. 51.

Ἀγαθῇ τύχῃι·
ὁ θίασος τῶν Ἐπιγόνων
Θεόδωρον Δημητρίου
Ἀρσινοέα τῆς ἐπὶ Παμφυλίας
ἡγεμόνα τὸν τεταγμένον
ἐπὶ Χαράδρου, καὶ τὴν γυναῖκα
αὐτοῦ Μυραῖθα Ζηνοθέμιος
Σαμίαν καὶ τοὺς υἱοὺς Ἀρχικλῆ[ν]
καὶ Δημήτριον, ἀρετῆς ἕνεκ[α]
καὶ εὐνοίας τῆς εἰς αὑτ[όν].

De Charadro, castello Cilicio ad *Kaladiran* sito, et Arsinoe Pamphyliorum eodem loco breviter disserit Mitford.

294. Carmen sep. Chaetae(?), s. V/IV^a. — *Ibid.*, ubi nunc apud advocatum Loisidem asservatur. Stelam lap. calc. c. aetomate et anaglypho, ita infra fractam ut caput tantum ephebi restet, c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso, ed. T. B. Mitford, *Minoica, Festschrift zum 80. Geburtstag von Johannes Sundwall*, 1958, 261/6 n. 1, c. del. fig. 1 et im. ph. pl. 1. Vid. etiam O. Masson, *ICS* 222 n. 213a. Litterae vs. 2 sunt plerumque evanidae.

Ἰ(ν)θάδε ἐγὼν κεῖμαι Χαετᾶ(ς) ὁ Πορθηνύυ, γένει ϝοιϝανίϳας(?)· μώσας
ὄπυϝην, ἄζαμος κατέδυ ἰν
I. zo. TA ..... *TA. se. KO. TI. le. o* .....

295. Carmen sepulcrale, s. III^a. — *Soli*, nunc *Nicosiae* in museo. Tabulam lap. calc. albi a dextra deperditam ed. I. K. Peristianis, *op. cit.* (n. 293 supra), 452. Denuo tractat T. B. Mitford, *AJA* LXV 1961, 133/4 n. 33, c. im. ph. pl. 50. Vid. J. et L. Robert, *REG* LXXV 1962, 211 n. 340.

— ⏑⏑ — ⏑⏑ — ντα βίωι παίδων τε τ ⏑ — ⏑
— ⏑⏑ — ⏑⏑ — γῆς Σολίωμ βασιλε[ῖ]
[— — ζῶντα βροτῶν πε]ριώσιον ἠδὲ θανόντ[α]
[ἐνθάδε γῆ κατέχει, ξεῖνε], τάφωι γεραρῶι.

[Ὀ]κταβίωι παίδων τε τ[ῆς] Peristianis.

296. Dedicatio Nymphis et Deo Tamassio, s. IV^a. — *Tamassus(?)*, nunc *Larnaca* apud Djabram Pieridem. Poculum fictile integrum incertae originis, in quo pictae sunt litterae Cypriae *sinistrorsum* scriptae, ed. T. B. Mitford, *Minoica* (cf. n. 294 supra), 266/74 n. 2, c. del. fig. 3 et im. ph. pl. 2. Conicit ed. tit. finibus Tamassiorum esse

addicendum, et saeculo quarto a. C. adscribit. Vid. etiam O. Masson, *ICS* 342/4 n. 352, c. im. ph. pl. LIX, 6.

Διφείφιλος ἔδωκε τ̣αῖς Νύμφαις
ἰ(ν) τᾶι δ̣ήρι ἃς (εἴκοσι), ὅτε Ἀριστᾶς κ̣ὰς Ὀνάσιλος
τῶι Ταμασ(σ)ίωι ἔδω̣κ̣αν, ἄτε Διφείφιλος, ἀπονάμενοι ἔγχε̣α̣ (εἴκοσι δύο)
ἀπ' Ἀριστοκλέφει τ̣ὸ̣[ν Α]ρ̣ιφτογένις ἔτρ̣ωσε.

1. ταῖς [θοί]ναις Masson, qui de lectione tota valde dubitat.

297. Tit. sep. Timocypri, Onasicratis f., a. 6^{p}(?). — *Tamassus*, nunc *Nicosiae* in museo. Tabulam rudem lap. calc. quadratam ed. T. B. Mitford, *AJA* LXV 1961, 139/41 n. 38, c. im. ph. pl. 52. Vid. etiam J. et L. Robert, *REG* LXXV 1962, 212 n. 342. Demonstrat Mitford apud Cyprios aet. Romana nullam omnino provinciae aeram exstitisse; annos enim ex imperatorum regnis numerare solitos esse.

Τιμόκυπρε Ὀνη-
σικράτου χρησ-
τὲ χαῖρε· ⏑ Ὀνη-
σίμη καὶ Ὀλυπι-
ὰς καὶ Εἰρήνη
τῷ ἑαυτῶν {π}
πάτρωνι καὶ εὐ-
εργέτῃ·
(ἔτους) λς', Παῦνι κ'.

Vestigia tituli cuius litterae antiquitus sunt erasae agnosci possunt: 2, a dextra, ΙΚΑΙ (vel ΙΚΛΙ): 3. ΕΑ (vel CΛ): 8. τιμῆς: 9. χάριν . . $^{e.g.}$. ΤΟΝΗΜ $^{e.g.}$ ΩΣ.

298. Carmen votivum Apollini, s. III^{a}. — *Cerynea* (*Kyrenia*), nunc *Nicosiae* in museo. Basem lap. calc., supra tantum mutilam, ed. id., *loc. cit.*, 132 n. 31, c. im. ph. ectypi pl. 47. Vid. J. et L. Robert, *REG* LXXV 1962, 211 n. 339. Urget Mitford nos in hoc textu colloquium dedicantis cum deo habere; commonet etiam Apollinem Cerynaeae latius fuisse insignem, ut demonstrat tit. Paphius, SEG XVIII 578.

[Τόνδ' (*nomen*)] ἀνέθηκα, τὸν Ἀπ[όλλω]ν ε[ἴ]ρηκεν,
[φήνας] ἀελίωι τ(ή)νδε θεοῖο φάτιν·
["στέλ]λοις τῶνδε θεῶν βωμὸν ἱδρυσάμενος·
[πεί]θεις γὰρ μεγάλην τήνδε χάριν θέμενος."
ἀνθ' ὧν σοι τόδ' ἐγὼ δῶρον ἔθηκα, φράσας
"ἐμφάνισας ἀρετὴν τῶν δὲ θεῶν δύναμιν."
"Ἀλλ' εἶη τόδε σοι κείμενον εὐχαρίτως·
τῆς ἰδίας γνώμης εἰκόνα τήνδ' ἀπέθου."

2. Lap. ΤΩΝΔΕ.

299. Tit. sep. Charmi, s. II/III^{p}. — *Ibid.*, in castello. Lapidem rudem calc. c. tit. a dextra evanido ed. id., *loc. cit.*, 132/3 n. 32, c. im. ph. pl. 47. Vid. J. et L. Robert, *REG* LXXV 1962, 211 n. 339.

Ἐννέ' ἐγὼ ζήσας λυκαβάντων ¦ ἤματα μούνων, |
ἦλθον ὑποχθονίους ἀέλι¦ον προλιπών, ||
ἐν δάκρυσιν γενέταν κ̣[αὶ μ]α̣τ̣έ¦ρα καὶ στοναχαῖσιν |
λείψας· οὔνομα δὲ ψι[λ]ὸς | ἐρεῖ τίς ἔφυν.
⟨α⟩ἰα[ῖ]!, Χάρμε χρηστὲ χαῖρε.

Lapidem iterum scrutatus, scribit nobis Mitford in vs. 3 non ⟨τὸν⟩ μελε|ὸν sed ἀέλι¦ον, et in vs. 5 non Ν[εικ]ά⟨ν⟩ο|ρα(?) sed κ̣[αὶ] μ̣α̣τ̣έ¦ρα legendum sibi videri, quod notavit per ep. etiam J. Bousquet. Contendit Mitford ψι¦λ¦ὸς pro ψιλὸς λόγος (id est vss. 8 9) scriptum: ψιλόγ, ἐρεῖ τις, ἔφυν Bousquet.

300. Ara regis Ptolemaei (Philadelphi?), a. 270^{a} (?). — *Melandrina*, XVI m.p. orientem versus a Kyrenia distans, nunc *Nicosiae* in museo. Aram lap. calc. integram ed. I. K. Peristianis, *op. cit.* (n. 293 supra), 508. Denuo tractat T. B. Mitford, *loc. cit.*, 128 adn. 143, qui primo vel potius secundo Ptolemaeo (et fortasse anno 270^{a}, cum rex sorori divinos honores decrevit) monumentum adscribit.

Βασιλέως
Πτολεμαίου.

301. Fragmentum decreti, s. I^{a}/I^{p}. — *Chytri(?)*, nunc *Nicosiae* in museo. Fragmentum stelae marm. albi, tantum a dextra integrum, ed. id., *loc. cit.*, 131 n. 30, c. im. ph. ectypi pl. 49.

---------- καὶ
[----------τῆ]ς φιλοτι-
[μίας ----------] κοινῶν
---------- τῆι πόλει
----------ι θυσίας καὶ
[-- λαμπαδηφο]ρίας(?) κ[αὶ] ὑπ̣ο̣-
[----------το]ῦνομα καὶ τὸ
----------ον ἀμ[ε]λῶ-
[ς(?) ----------δα]πανήσαντος
----------δωρεάν

302. De cultu Veneris Paphiae(?) praescriptiones, a. 46/8^{p}. — *Ibid. IGRR* III 935; J. L. Myres, *Handbook of the Cesnola Collection of Antiquities from Cyprus*, 1914, 548 n. 1903; T. B. Mitford, *BSA* XLII 1947, 206 adn. 21. Textum quem infra exhibemus praebet E. Gabba, *Iscrizioni greche e latine per lo studio della Bibbia*, 1958, 71/3 n. XXI, c. im. ph. pl. 4. De aetate tituli vid. T. B. Mitford, *loc. cit.*

----------ν. μ----------
----------ουσιν τὸ ἄλσ[ος ----------]
[--- τῆς] θυσίας μετέχειν πάντας τε
-------- ἀνιερωσάντων τῇ θεῶι ὡς τα
----------ι τῶν ἀνιερωμένων τῆς τοῦ ἐν
-------- Φιλοκράτους τοῦ καὶ Μενεστρά-
[του-----]ανδρίου τοῦ ἐφηβάρχου ἀργυρίο-
[υ -- ἀγορα]σθῆναι τῇ θεῷ ποτήρια, ἐφ' ὧν ε-
[---- Κλαυδ]ίου Καίσαρος Σεβαστοῦ καὶ
[---------- ἐπὶ Κ]οίντου Σεργ-
[ίου Παύλου ἀνθυπάτου ----------]

Lectiones secundum Myres, nisi quod in vs. 5 lectionem illius (ANIEPAM.) correxit Gabba.

303. Dedicatio Dianae, s. III^a. — *Chytri*, ad fontem; iam pridem deleta. Lapidem calc. enormem commemorat M. Markides in epistula a. 1925 data quam *Nicosiae* in museo invenias. Ex hac ed. T. B. Mitford, *AJA* LXV 1961, 128/9 n. 28, apographo Markidis usus. De cultu Dianae apud Cyprios breviter disserit idem. Vid. etiam J. et L. Robert, *REG* LXXV 1962, 211 n. 338.

Ἄρισ[τος]
Ἀριστο[δήμου]
Ἀρτέμιδι Ἐπ[η]-
κόωι
εὐχήν.

304. Dedicatio Dianae Agoraeae, s. III^a. — *Ibid.*, nunc *Nicosiae* in museo. Tit. quem edidit M. Ohnefalsch-Richter, *Ath. Mitt.* IX 1884, 137 n. 7 (J. L. Myres et M. Ohnefalsch-Richter, *Catalogue of the Cyprus Museum*, 1899, 148 n. 5146), denuo tractat T. B. Mitford, *loc. cit.*, 128, qui textum huius modi proponit:

Ἀγαθῆι τύχηι·
[Πολυ]κράτεια(?) Ἀγορίᾳ (*sic*) Ἀρ-
τέμιδι εὐχή[ν].

305. Dedicatio Apollini Aristi, Aristodemi f., s. III^a. — *Ibid.(?)*, nunc *Nicosiae* in museo. Stelam lap. calc. supra et infra fractam ed. id., *loc. cit.*, 128 n. 28(a), c. im. ph. pl. 52. Idem ut videtur Aristus in titt. nostris 303 et 306 invenitur.

Ἄριστο[ς]
Ἀριστο-
δήμου
Ἀπόλ-
[λ]ωνι εὐ-
χήν.

306. Dedicatio Apollini Aristi, Aristodemi f., s III^a. — *Ibid.(?)*, nunc *Nicosiae* in museo. Stelam calc. integram ed. id., *loc. cit.*, 128 n. 28(b), c. im. ph. pl. 52.

Ἄριστο-
ς Ἀριστ-
οδήμου
Ἀπόλλ-
ωνι εὐ-
[χ]ήν.

307. Dedicatio Apollini et Iovi(?) Eilapinastae, s. IV/III^a. — *Ibid.*, ex fano Apollinis ad locum *Voni*, nunc *Nicosiae* in museo. Dextram partem duplicis baseos lap. calc. ed. M. Ohnefalsch-Richter, *Ath. Mitt. loc. cit.* supra (n. 304), 136 n. 3. Denuo tractat T. B. Mitford, *loc. cit.*, 129, qui demonstrat dimidiam tituli partem esse deperditam. Commonet Hegesander (C. Müller, *FHG* IV 419 fr. 30) Iovem Eilapinasten apud Cyprios esse cultum.

[Πασίδωρος(?) καὶ] Νικόδημος, υἱοὶ Κάρυος, Ἀπόλλωνι
[---------- καὶ Δι]ὶ Εἰλαπιναστ[ῆι] εὐχήν.

308. Dedicationes Apollini, s. IV/III^a. — *Ibid.* Titulos ceteros ex Apollinis fano ad *Voni* inventos, nunc *Nicosiae* in museo conservatos, recensuit T. B. Mitford, *loc. cit.*, 129. Nobis operae pretium videtur horum textus hic proponere.

(*a*). M. Ohnefalsch-Richter, *Ath. Mitt.* IX 1884, 135 n. 1: Κάρυς Ὀνησαγόρου | Ἀπόλλωνι εὐχήν.

(*b*). Id., *ib.* n. 2: Π[α]σίδωρος(?) | Κάρυος Ἀπόλ|λωνι εὐχήν.

(*c*). J. L. Myres et M. Ohnefalsch-Richter, *op. cit.* (n. 304), 148 n. 5143: [ὁ δεῖνα] Κάρυος Ἀπόλλ[ωνι]| ---- ὑπὲρ Ὀνασιάρου(*sic*) ἀγαθᾶι τύχαι.

(*d*). M. Ohnefalsch-Richter, *loc. cit.*, 136 n. 4: Ἀπόλλονι (*sic*) εὐχῆι· Ζόαρχος | ὑπὲρ Μηνηκράτους τοῦ | υἱοῦ ἐν τύχηι.

(*e*). Id., *ib.* 137 n. 5: Ἀπόλλονι (*sic*) εὐχῆι· Τιμοκράτης | ὑπὲρ Ὀνασιόρου τοῦ (υ)ἱοῦ.

309. Dedicat Themistagoras Apollini Agyatae, s. IV/III^a. — *Chytri*, fortasse ex eodem fano, nunc *Nicosiae* in museo. Tit. quem ed. S. Menardos, Ἀθηνᾶ XVIII 1905, 334/5, recensuit T. B. Mitford, *AJA* LXV 1961, 129, qui etiam animadvertit lacunas in nn. 307 et 308(*c*) supra relictas hoc Apollinis cognomine suppleri posse.

Θεμισταγόρας Ἀγυάτηι
Ἀπόλλωνι εὐχήν· ἐ⟨ν⟩ τύχηι.

310. Dedicatio Apollini Hylatae, s. IV/III^a. — *Ibid.*, nunc eodem in museo. Pateram fictilem c. tit. litteris Cypriis *sinistrorsum* scriptis expresso ed. V. Karageorghis, *BCH* LXXXIV 1960, 260, c. del. et im. ph. fig. 29. Vid. etiam O. Masson, *ICS* 265 n. 250a, c. im. ph. pl. LXXI, 3. Commonet ed. titulum in vase aeneo iam pridem deperdito incisum, quem edidit Peristianis, *op. cit.* infra (n. 312), 862, ex eodem loco *Skali* provenisse, de quo vid. etiam Masson, *ICS* 264/5 n. 250.

Τῶ Ὑλάτω.

311. Dedicatio Alexandri lampadarchi Mercurio et Herculi, a. 147/6^a (?). — *Ibid.(?)*, nunc *Larnaca* apud Zenonem Pieridem. Tabulam marm. albi, undique nisi supra a dextra et infra a sinistra integram, ed. T. B. Mitford, *AJA* LXV 1961, 129/31 n. 29, c. im. ph. pl. 48, qui commemorat duos insuper huius generis titulos (quorum unus noster n. 312 qui sequitur) e *Chytris* provenisse.

(Ἔτους) λε', Φαρμ[οῦθι]·
Ἑρμεῖ Ἡρακλ[εῖ]
Ἀλέξανδρος
Μενεσθέως γε-
νεθλίοις παισὶ
[λαμπα]δαρχῶν.

312. Dedicatio lampadarchi, a. 152/45^a (?). — *Ibid.*, nunc *Nicosiae* in museo. Frag. tabulae marm. caerulei, quod ed. I. K. Peristianis, Γενικὴ Ἱστορία τῆς νήσου Κύπρου, 1910, 938 n. 28, denuo tractat T. B. Mitford, *loc. cit.*, 130(b), c. im. ph. pl. 48, qui supplementa hunc in modum proponit:

(Ἔτους) λ[. '(?)· ὁ δεῖνα τοῦ δεῖνα]
τῶν ----------
παισ[ὶ λαμπαδαρχῶν].

313. Honoratur rex Ptolemaeus II Philadelphus, ca. a. 280^a(?). — *Ornithi*, in ecclesia VIII m.p. Eurum versus a *Chytris* distante inaedificata. Basim marm. caerulei, a dextra fractam, ed. id., *loc. cit.*, 127/8 n. 27, c. im. ph. ectypi pl. 47.

Βασιλέα Π[τολεμαῖον θεῶν]
Σωτήρων [Χυτρίων(?) ἡ πόλις].

314. Tabula fictilis lampadephoriam ut videtur ordinans, s. V/IV^a. — Inventa, ut perhibet fama, in sepulcro meridiem versus ab *Akanthou*, sed fortasse *Chytriorum* finibus attribuenda; anno 1950 a praepositis Musei Britannici empta. Ed. R. Meister, *Sb. Akad. Berlin* 1910 (ix), 148/64, c. imm. ph. pl. I/II, imaginibus tamen eis fretus quas ibidem publici iuris fecit. Tabulam ipsam recensuit T. B. Mitford, *BICS* Suppl. X, 1961, 38/45, c. del. et im. ph. pl. XXVI, tit. longe aliter ac Meister interpretatus. Vid. etiam O. Masson, *ICS* 324/8 n. 327, c. del. fig. 94 et imm. ph. pl. LV, 402/3; eund., *BCH* LXXXV 1961, 579/81. *Sinistrorsum*.

Ἀ(ν)δροκ[λέϝεος(?) βα(σιλεύϝοντος?)]
ἰ(ν) τύχαι [ἀζαθᾶι]·
Ἐσλόχαρις [ἦρχε]
λα(μ)πάδων· Ζωϝρά[λιος]
Μιγαλά(ν)θεο, Φιλόδ̣ω[ρος(?)]
Ἀζάρϝων, Ζωϝοκρέ[της]
Ἀφροδισίϳω, Ἔσλω[ν]
Διϝονυσίϳω, Διϝείφιλο[ς]
Διϝίων, Ἄριστος Ἀ-
γροϝεϝίϳω, Ἀριστᾶς
Ἀκυϝευσυτρίϳω, Κυδιμα-
μούκης Θηρίϳω, Τίμιλος
ϝαρμίων, Ἀρχομίνη[ς]
Δαϝαξίω. Ἀριστοϝά[να]-
ξ, ἰ(ν)θήκας κάτ(θ)ιν τά(ν)νυ̣ [ἰ(ν) τὸ]
δῶμα, ϝερσήη ἤδη βό[ϝα]
ἰδέ, λαχὼν τὸ ἄμα[ρ, ἀπυ]-
φορήση ἤδη τόμι[ϳα τοῖς τι]-
μίδαις(?) ἰδὲ [ἀ(ν)τ' αὐτῶ]
πείσει [ὁ ταμίϳας].

O. Masson, secutus quae proposuit Meister, hunc in modum tit. interpretatur: ---|ἰ(ν)τύχα[ι ----]‖ ἧς λογάρι[ον(?) --]| λα(μ)πάδων(?) Ζωϝαρ--‖ Μιγαλαθέω, Φιλο---| ----Ζωϝόρω | Ἀφροδισίγω. ἧς λό[γος(?)] | Διϝωνυσίω, Διϝειφίλω ¡ Διϝίων ἄριστος ; ---- ἀρίστα | ---- κυδί[μα(?)]‖ Μούκης(?), Θηρίγω(?), Τιμίλος(?). | ϝαριμίγων(?), Ἀρχομίνη[ς(?)| ----] Ἄριστο ---‖ ἰδὲ κὰς --- | δῶμα ϝερσήη(?) ἤδη -- | ἰδέ λαχὼν τὸ ἄμαίρ(?)‖ φορήση ἤδη --- | --- ἰδὲ ---‖ πείσει --- (?) ‖ 3 et 7. De nominibus Ἐσλόχαρις et Ἔσλων vid. n. 323 infra.

315. Honoratur Nicander, praefectus Neapolis, urbis ignotae, med. s. III^{a}. — *Gypsos*, vicus VIII m.p. meridiem versus ab Akanthou distans, nunc *Nicosiae* in museo. Ed. T. B. Mitford, *Archiv für Papyrusforschung* XIII 1938/9, 19/20 n. 8; denuo tractat id., *AJA* LXV 1961 136, suadens hanc Neapolim in litore adverso Ciliciae esse requirendam. Textum repetere operae pretium nobis videtur.

[Οἱ δεῖνες] Νίκανδρον
..$^{c.7}$.. ωτος τὸν καθεσ-
[τηκότα ὑ]πὸ τοῦ βασιλέως
[ἐπιστάτ]ην τῆς περὶ
[..$^{c.9}$..Ν]εαπό⟨λ⟩εως
[εὐνοία]ς ἕνεκεν
[τῆς εἰς αὐ]τούς.

4/5 περι‖[χώρου Ν]εαπ. prop. A. M. Woodward, per ep.

316. Testamentum Emmidori qui Veneris Acracae templo praedium legat, s. II^{p}. — *Carpasia*, nunc *Nicosiae* in museo. Stelae marm. albi quam publici iuris fecit T. B. Mitford, *Opuscula Archaeologica* VI 1950, 12/13 n. 6, c. im. ph. ectypi fig. 7, novum fragmentum a. 1958 in lucem prodiit. Hoc cum prioribus ed. id., *AJA loc. cit.*, 125/7 n. 26, c. im. ph. pl. 43. Disserit breviter Mitford de cultu deae, et tit. Paphium, SEG XVIII 578, adducit.

----------μι
----------ἄλλη
[----------μ]ενον
----------ενα κὲ ἄλ-
[λα ----------]ω σπόριμα
ἁμ[α ----------]αν ἐν τῇ κώ-
μῃ Πρ ----------μην ἀπὸ τοῦ
πατρὸ[ς ----------]νος χωρίου
καλου[μένου ----------]ου ἐν τῇ αὐτῇ
κατα[γραφῇ ----------] ἀποδοθῆνε τὸ ἐ-
πι[δέκατον εἰς χρόνον ἅ]παντα τῇ παρ' ἡμῖν
Ἀφ[ροδίτῃ τῇ ἐπὶ τοῖς] Ἄκροις ἐπὶ νόμῳ καὶ αἱρέσεσι
----------ἔξω ἐγὼ Ἐμμίδωρος τὴν
[χρήσεως κὲ καρπώσεως ἐξου]σίαν ἐπὶ τὸν τῆς ζωῆς μου
[χρόνον ----------]ς ἱκανοῦ δόσεως καὶ μετὰ
[τὴν τελεύτην μου-----]ς ἔξουσιν τὴν χρῆσιν κὲ κάρ-
[πωσιν ----------κ]ατὰ διαδοχὴν παῖδες ἄρσενε-
[ς· ἐὰν δὲ --ὁ οἰκό]ς μου ἐκλίπῃ χωρὶς ἱκανοῦ
[κληρονόμου(?) τ]ὸ πᾶν γένος μου, ἔσται ἡ προ-

[γεγραμμένη οὐσία(?) τῆς] Ἀκρέας Ἀφροδίτης κὲ στε-
----------ΥΔΕΧΟΝ ἐπὶ
----

7. ἐκομισά]μην prop. A. M. Woodward, per ep. ‖ 12. Vel νομῷ ? ‖ 16. τελεύτην M. N. Tod, per ep.: ζωήν Mitford. 17. ἐὰν δὲ ὁ θάνατός Woodward. ‖ 18. [κληρονόμου τ]ὸ Woodward: [----- τ]ὸ Mitford.

317. Sophanes Achaeus a Zatone vilico honoratur, med. s. II^{a}. — *Ibid.*, nunc eodem in museo. Tabulam marm. albi, a dextra fractam, ed. id., *loc. cit.*, 122/3 n. 23, c. im. ph. pl. 45. Vid. etiam J. et L. Robert, *REG* LXXV 1962, 211 n. 337.

Σωφάνην [τοῦ δεῖνα]
Ἀχαιόν, ἡγ[εμόνα ἐπ' ἀνδρῶν],
Ζάτων ὁ τ[αμίας καὶ οἱ παν]-
οίκιοι γεω[ργοὶ εὐεργεσίας]
ἕνεκεν [τῆς εἰς ἑαυτούς].

318. Aedificium ab imperatore quodam exstruitur, s. I/II^{p}. — *Ibid.*, nunc eodem in museo. Frag. tabulae marm. albi, ex omni parte mutilum, c. tit. evanido ed. id., *loc. cit.*, 123 n. 24, c. im. ph. ectypi pl. 46, et conicit aetati imp. Traiani esse attribuendum.

----------Δ---
---------ς πατὴρ πατρίδο[ς]
[----------ἐπ]αρχείας(?)..κ..τον
---------καταλε[χθέντα(?)]
[---------γυμνασιαρ]χοῦντ[α]
----

319. Imp. Hadrianus(?) ab urbe Carpasiorum honoratur, a. 130^{p} (?). — *Ibid.*, nunc eodem in museo. Tabulam marm. caerulei, supra et a sin. deperditam, ed. id., *loc. cit.*, 123/5 n. 25, c. im. ph. ectypi pl. 46. Sibi persuasit Mitford honores ad Hadrianum referri debere anno 129/30^{p} cum Antiochiae hiemaret.

[Αὐτοκράτορα Καίσαρα, θεοῦ]
[Τραϊανοῦ υἱόν, θεοῦ Νέρουα]
[υἱωνόν, Τραϊανὸν Ἀδριανόν]
[Σεβαστόν, πατέρα πατρίδο]ς,
[τὸν σωτῆρα καὶ] εὐεργέτην
[τοῦ κόσμου, ἡ] πόλις)—(
[ἡ Καρπασεωτ]ῶν διὰ προνο-
[ητοῦ..$^{c.7}$..]ρος τοῦ Ἀντιό-
[χου].

320. Tituli sepulcrales, s. V/IV^a. — *Carpasia.* Titt. sep. Carpasiorum recenset T. B. Mitford, *AJA* LXV 1961, 122 adn. 122. Omnes litteris Cypriis expressi *sinistrorsum* sunt scripti.

(*a*). O. Masson, *ICS* 331 nn. 332/4.

Τίμωϝο[ς] Χα[ρί]τας Φιλοδά[μω]

(ubi priores Τιμοϝώ[ρω], *ka.? ta. sc*).

(*b*). T. B. Mitford, *Report of the Department of Antiquities of Cyprus* 1937/9, 122: O. Masson, *op. cit.*, 330 nn. 331 a/c, c. delt. fig. 96/8.

Ἀκεστοκύπρω Ἀριστοχίϝω(?) Ὀνασίλω.

(*c*). T. B. Mitford, *ibid.* 169; O. Masson, *op. cit.* 330 n. 331, c. im. ph. pl. LVI, 4.

μνᾶμα Μενοκράτεο(ς).

---

321. Honores Stasidemi, Erotis f., Paphii, a. 180/50^a. — *Originis incertae*, nunc *Larnaca* apud Djabram Pieridem. Tabulam marm. caerulei, supra a sin. deperditam, ed. T. B. Mitford, *AJA* LXV 1961, 141/2 n. 39, c. im. ph. pl. 48. Vid. etiam J. et L. Robert, *REG* LXXV 1962, 212 n. 343. Disserit Mitf. breviter de thiasis Cypriorum, quos ad cleruchos militares refert ante mortem regis Philometoris ruri habitantes.

[Ἐπ' ἀγα]θῆι τύχηι·
[ὁ θίασ]ος τῆς Μαρ-
.[.]. Στασίδημον
[Ἔρω]τος Πάφιον
[θε]ῶν ἐπιστάτην
εὐνοίας ἕνεκεν
τῆς εἰς αὐτούς.

---

322. Pondus plumbeum, a. 178/7^a. — *Originis incertae*, nunc *Nicosiae* in museo. Discum plumbeum ed. id., *loc. cit.*, 142/3 n. 40, c. im. ph. pl. 50, et commonet pondus non regis sed urbis esse. Vid. etiam J. et L. Robert, *loc. cit.*, 133 n. 31. Unicum hoc ponderis ex Cypro post Alexandri Magni mortem exemplum; antiquiora autem invenias, O. Masson, *ICS* 249 n. 224, 351 n. 368.

Ζηνοβίου,
ἔτους δ',
δημοσία
μνᾶ.

---

323. De nominibus Ἐσλαγόρας, Ἐσλόφαντος, Ἐσλότιμος, Ἐσλόθεμις, Ἐσλόχαρις, fortasse etiam Ἔσλοχώρα, e titulis Cypriis haustis, vid. O. Masson, *Beiträge zur Namenforschung* XIII 1962, 75/80.

PERSIS

324. Res Gestae Divi Saporis, ante a. 272^p. — *Naqš-i-Rustam*, prope *Persepolim*. SEG XIV 819. Textus Graeci editionem novam protulit A. Maricq, *Syria* XXXV 1958, 295/360, c. im. ph. ectypi vss. 6/11 ad fin. fig. 2. Titulum magnum non antehac in *Supplemento* nostro exscriptum, ut lectoribus facile prae manu sit totum exhibere constituimus. Cf. J. et L. Robert, *REG* LXXIII 1960, 204 n. 418, LXXVI 1963, 185 n. 294. Propter magnitudinem tituli et numerum ingentem nominum textui huic propriorum inscriptionem ex indicibus ad finem voluminis nostri exclusimus; sed indicem praebuit Maricq, ad quam si opus erit se facile conferet lector.

De vss. 8/9 et tributo ab Imp. Philippo reddito vid. J. Guey, *Syria* XXXVIII 1961, 261/74; T. Pekáry, *ibid.*, 275/83.

Ἐγὼ Μασδαασνης θεὸς Σαπώρης, βασιλεὺς βασιλέων Ἀριανῶν
κ[α]ὶ Ἀναριανῶ[ν, ἐκ γέ]νους θεῶν, υἱὸς Μ[ασδα]σνου θεοῦ
[Ἀρ]τ[α]ξάρου βασιλέως βασιλέων Ἀριανῶν ἐκ γένους
θεῶν, ἔγγονος θεοῦ Παπακ[ου] βασιλέως — τοῦ Ἀριανῶν ἔθνου[ς
δεσπότης εἰμ]ί. Κα[ὶ κα]τ[έχω] ἔθνη· Περσίδα, Π[αρθίαν], Οὐ[ζη]-
νήν, Μ[ησαν]ηνήν, Ἀσσυρίαν, Ἀδιαβηνήν, Ἀραβίαν, Ἀδουρβα-
δηνήν, Ἀρμενίαν, Ἰβηρίαν, Μαχελονίαν, Ἀλβανίαν, ...^{6}...γηνή[ν,
ἕως ἔ]μπ[ροσ]θ[εν] Καπ ὄρους καὶ πυ[λ]ῶ[ν Ἀλβαν]ῶν καὶ
ὅλον τὸ Πρεσσουαρ ὄρος, Μ[α]δηνήν, Γουργαν, Μαρου,
Ῥην καὶ πάντα τὰ ἀνωτάτω ἔθνη, Κερμανζηνήν, Σεγισταν[ήν,
[Τουρηνήν, ------ Παρα]δηνήν, Ἰνδίαν καὶ Κουσην[ῶν ἐθ]ν[η]
ἕως ἔμπροσθεν Πασκιβουρων καὶ ἕως Κας, Σωδικηνῆς καὶ
{καὶ} Τσατσηνῆς ὄρων, καὶ ἐξ ἐκείνου τοῦ μέρους τῆς θα(λ)άσσης
Μι[.....ἐθ]νος. [Καὶ ἐκαλέσαμεν Π]η[ρ]ωσ-σαβουρ[.....^{12}.....,
καὶ] ἐκαλέσαμεν Ὡρμισδαρτ[αξ]ιρ. Καὶ ταῦτα τὰ τοσαῦτα ἔθνη
καὶ τοὺς δεσπότας τῶν ἐθνῶν τῶν ἐκ παντὸς μέρους πάντας ἡμεῖν
[εἰς φόρους καὶ δουλ]είαν ἐστήσα[μ]εν. Κ[α]ὶ ὅ[τ]ε πρώτως ἐπὶ
τὴν βασιλίαν τῶν ἐθνῶν ἔστημεν, Γορδιανὸς Καῖσαρ
ἀπὸ πάσης τῆς Ῥωμαίων ἀρχῆς Γούθθων τε καὶ Γερμανῶν ἐθνῶν
[δύναμιν συνέλεξ]εν [καὶ εἰ]ς [τὴ]ν Ἀ[σσ]υρίαν ἐ[πὶ τὸ] τῶν
Ἀριανῶν ἔθνος καὶ ἡμᾶς ἐπῆλθεν· καὶ εἰς τοὺς ὅρους
τῆς Ἀσσυρίας ἐν τῇ Μησιχῃ ἐξ ἐναντίας πόλεμος μέγας γέγονεν
καὶ [Γορδιανὸς Καῖσαρ ἀ]νήρη κ[αὶ ἡμεῖς] τὴν στ[ρ]ατείαν τῶν
Ῥωμαίων ἀνηλώσαμεν, καὶ οἱ Ῥωμαῖοι Φίλιππον

Καίσαρα ἀνηγόρευσαν καὶ Φίλιππος ὁ Καῖσαρ εἰς παράκλησιν ἦλθεν καὶ τ[ῶ]ν ψ[υ]χῶν α[ὐτ]ῶν ἀντίτειμ[α] π[ε]ντακοσίαν χειλιάδα δηναρίων ἡμεῖν ἔδοτο καὶ εἰς φόρους ἡμεῖν ἔστη· καὶ ἡμεῖς Μισιχην διὰ τοῦτο Πηρωσ-σαβουρ ἐπωνομάσαμεν. Καὶ ὁ Καῖσαρ πάλιν ἐψεύσατο καὶ εἰς τὴν Ἀ[ρμενία]ν ἀδικίαν ἐποίησεν· καὶ ἡμεῖς ἐπὶ τὸ ἔθνος τῶν Ῥωμαίων ὡρ-
μήσαμεν καὶ δύναμιν Ῥωμαίων ἑξήκοντα χειλιάδας ἐν Βαρβαρισσῷ ἀνείλαμεν· καὶ τὸ ἔθνος τῆς Συρ[ί]ας καὶ ὅ[σα ἐπ' α]ὐτὴν ἔθνη καὶ περίχωροι ἦσαν, πάντα ἐκαύσαμεν καὶ ἠρημώ-
σαμεν καὶ ἐκρατήσαμεν καὶ ἐν ἐκείνῃ τῇ μιᾷ ἀγωγῇ ἀπὸ τοῦ ἔθνους Ῥωμαίων καστέλλους τε καὶ πόλει[ς]· Ἀναθαν πόλιν σ[ὺ]ν τῇ περιχώρῳ, Βίρθαν Ἀσπωράκου σὺν τῇ περιχώρῳ, Σοῦραν πόλιν σὺν τῇ περιχώρῳ, Βαρβαλισσὸν πόλιν σ[ὺ]ν τῇ περιχώρῳ, Ἱεράπολιν πόλιν σὺν τῇ περιχώρῳ, [Βέρροι]αν πόλιν σὺν τῇ περιχώρῳ, Χαλκίδα πόλιν σὺν τῇ περιχώρῳ, Ἀπάμιαν πόλιν σὺν τῇ περιχώρῳ, Ῥεφανέαν πόλιν σὺν τῇ περιχώρῳ, Ζεῦγμα πόλιν σὺν τῇ περιχώρῳ, Οὐριμ[α] πόλιν σὺν τῇ περιχώρῳ, Γίνδαρον πόλιν σὺν τῇ περιχώρῳ, Λαρμέναζα πόλιν σὺν τῇ περιχώρῳ, Σελεύκιαν πόλιν σὺν τῇ περιχώρῳ, Ἀντιόχιαν πόλιν σὺν τῇ περιχώρῳ, [Κ]ύρρο[ν πό]λιν σὺν τῇ περ[ιχ]ώρῳ, ἄλλην Σελεύκιαν πόλιν σὺν τῇ περιχώρῳ, Ἀλεξάνδριαν πόλιν σὺν τῇ περιχώρῳ, Νεικόπολιν πόλιν σὺν τῇ περιχώρῳ, Σίνζαρα πόλιν σὺν τῇ περιχώρ[ῳ, Χα]μ[α]θ πόλιν [σὺ]ν τῇ πε[ρ]ιχώρῳ, Ἀριστην πόλιν σὺν τῇ περιχώρῳ, Διχωρ πόλιν σὺν τῇ περιχώρῳ, Δολίχην πόλιν σὺν τῇ περιχώρῳ, Δοῦραν πόλιν σὺν τῇ περιχώρῳ, Κορκουσίωνα πόλιν σὺν τῇ περιχώρῳ, Γερμανείκιαν πόλιν σὺν τῇ περιχώρῳ, Βάτναν πόλιν σὺν τῇ περιχώρῳ, Χαναρ πόλιν σὺν τῇ περιχώρῳ· καὶ τῆς Καππαδ[ο]κ[ία]ς Σάταλα πόλιν σὺν τῇ περιχώρῳ, Δόμαν [πόλι]ν σὺν [τῇ π]εριχώρῳ, Ἀρτανγιλ.. πόλιν [σὺν] τῇ περιχώρῳ, Σουισαν πόλιν σὺν τῇ περιχώρῳ, Σουιδ πόλιν σὺν τῇ περιχώρῳ, Φρέατα πόλιν [σὺν τῇ πε]ριχώρῳ· ὁμοῦ πόλεις τριάκοντα ἑπτὰ [σὺν ταῖς] πε[ριχώροις]. Τῇ δὲ τρίτῃ ἀγωγ[ῇ], ὁπότ[ε ἡ]μεῖς ἐπὶ Κάρρας τε καὶ Ἔδεσσαν ὡρμήσαμεν καὶ Κάρρας καὶ Ἔδεσσα⟨ν⟩
ἐπολιορκοῦμεν, Οὐαλεριανὸς Καῖσαρ [ἐφ' ἡμᾶς ἦ]λθεν· καὶ ἦσαν με[τ' αὐτο]ῦ ἀπὸ Γερμανῶ[ν ἔθ]ν[ους, ἀ]πὸ Ῥετίας ἔθνους, ἀ[πὸ] Νωρικοῦ ἔθνους, ἀπὸ Δακείας ἔθνους, ἀπὸ Παννονίας ἔθνους, ἀπὸ Μυσίας ἔθνο⟨υ⟩ς, ἀπὸ Ἀμαστρίας ἔθν[ους], ἀπ[ὸ Ἰσ]πανίας ἔθνους, ἀπ[ὸ .....]τα[....ἔ]θνους, ἀπὸ Θρᾳ[κ]ί[ας ἔθνο]υς, ἀπὸ Βιθυνίας ἔθνους, ἀπὸ Ἀσίας ἔθνους, ἀπὸ Καμπανίας ἔθναυς, ἀπὸ Συρίας ἔθνους,

ἀπὸ Λυκαονίας ἔθνους, ἀπὸ Γαλατίας [ἔθνο]υς, ἀπὸ Λυκίας ἔθνους, [ἀπὸ Κιλικίας ἔθ]νους, ἀπὸ Καππαδ[οκί]ας [ἔ]θνους, ἀπὸ Φρυγίας ἔθνους, ἀπὸ Συρίας ἔθνους, ἀπὸ Φοινείκης ἔθνους, ἀπὸ Ἰουδαίας ἔθνους, ἀπὸ Ἀραβίας ἔθνους, ἀπὸ Μαυριτανίας ἔθνου[ς, ἀπὸ Γερμαν]ία[ς ἔθ]ν[ο]υς, ἀπὸ Λυδίας ἔ[θ]ν[ο]υς, ἀπὸ Ἀσί[α]ς ἔθνους, ἀπὸ Μεσοποταμίας ἔθνους, δύναμις ἑβδομήκοντα χειλιάδων. Καὶ ἐκ τοῦ ἐκεῖθεν μέρους Καρρῶν καὶ Ἐδέσσων μετὰ [Ο]ὐ[αλεριαν]ανο[ῦ Κ]αίσαρο[ς] μέγας πόλεμ[ος] ἡμεῖν γέγονεν καὶ Οὐαλεριανὸν Καίσαρα ἡμεῖς ἐν ἰδίαις χερσὶν ἐκρατήσα-
μεν καὶ τοὺς λοιποὺς τόν τε ἔπαρχον καὶ συνκλητικοὺς κα[ὶ ἡ]γεμόν[α]ς οἵ[τι]νε[ς] ἐκείνης τῆς δυνάμεως ἄρχοντες ἦσαν, πάντας τούτους ἐν χερσὶν ἐκρατήσαμεν καὶ εἰς τὴν
Περσίδα αὐτοὺς ἐξηγάγομεν. Καὶ τὸ ἔθνος τῆς Συρίας καὶ τὸ ἔθνος τῆς Κιλικίας καὶ τὸ ἔθνος τῆς Καππαδοκίας πυρὶ ἐκαύσαμεν καὶ ἠρημώσαμεν καὶ ἠχμαλωτίσαμεν καὶ ἐκρατή-
σαμεν. Ἐκείνῃ δὲ τῇ ἀγωγῇ ἐκρατήσαμεν ἀπὸ τοῦ ἔθνους Ῥωμαίων Σαμόσατα πόλιν σὺν τῇ περιχώρῳ, Ἀλεξάνδριαν τὴν κατ' Ἰσὸν πόλιν σὺν τῇ περιχώρῳ, Κατάβολον πόλιν σὺν τῇ περιχώρῳ, Αἰγέαν πόλιν σὺν τῇ περιχώρῳ, Μομψουεστίαν πόλιν σὺν τῇ περιχώρῳ, Μάλλον πόλιν σὺν τῇ περιχώρῳ, Ἅδ[α]να πόλιν σὺν τῇ περιχώρῳ, Ταρσὸν πόλιν σὺν τῇ περιχώρῳ, Ζεφύριν πόλιν συν τῇ περιχώρῳ, Σεβαστὴν πόλιν σὺν τῇ περιχώρῳ, Κώρυκον πόλιν σὺν τῇ περιχώρῳ, Ἀγριππιάδα πόλιν σὺν τῇ περιχώρῳ, Καστάβαλα πόλιν σὺν τῇ περιχώρῳ, Νερωνιάδα πόλιν σὺν τῇ περιχώρῳ, Φλαυιάδα πόλιν σὺν τῇ περιχώρῳ, Νεικόπολιν πόλιν {πόλιν} σὺν τῇ περιχώρῳ, Ἐπιφάνιαν πόλιν σὺν τῇ περιχώρῳ, Κελενδερὶν πόλιν σὺν τῇ περιχώρῳ, Ἀνεμούριν πόλιν σὺν
τῇ περιχώρῳ, Σελινοῦν πόλιν σὺν τῇ περιχώρῳ, Μυῶν πόλιν σὺν τῇ περιχώρῳ, Ἀντιόχιαν πόλιν σὺν τῇ περιχώρῳ, Σελεύκιαν πόλιν σὺν τῇ περιχώρῳ, Δομετίου πόλιν σὺν τῇ {τῇ} περιχώρῳ, Τύαια πόλιν σὺν τῇ περιχώρῳ, Μηιακαριρη πόλιν σὺν τῇ περιχώρῳ, Κόμανα πόλιν σὺν τῇ περιχώρῳ, Κύβιστρα πόλιν σὺν τῇ περιχώρῳ, Σεβάστιαν πόλιν σὺν τῇ
περιχώρῳ, Βίρθαν πόλιν σὺν τῇ περιχώρῳ, Ῥακουνδιαν πόλιν σὺν τῇ περιχώρῳ, Λάρανδα πόλιν σὺν τῇ περιχώρῳ, Ἰκόνιν πόλιν σὺν τῇ περιχώρῳ· πάσας ταύτας τὰς πόλεις
σὺν ταῖς περιχώροις αὐτῶν λς'. Καὶ ἀνθρώπους τοὺς ἀπὸ τοῦ ἔθνους Ῥωμαίων ἀπὸ τῶν Ἀναριανῶν ἐν ἁρπαγῇ ἠγάγαμεν καὶ ἐν τῷ ἡμετέρῳ ἔθνει τῷ Ἀριανῶν ἐν Περσίδει καὶ
ἐν Παρθίᾳ καὶ ἐν Οὐζηνῇ καὶ ἐν τῇ Ἀσσυρίᾳ καὶ ἐν τοῖς ἑτέροις ἔθνεσιν

κατ' ἐπαρχῖον, ὅπου ἡμῶν τε καὶ τοῦ πατρὸς ἡμῶν καὶ πάππων καὶ προγόνων ἡμῶν κτίσματα ἦν, ἐκεῖ αὐτοὺς
ἀπεκαθίσαμεν. Καὶ ἡμεῖς ἕτερα πολλὰ ἔθνη ἐζητήσαμεν καὶ πολὺ ὄνομα καὶ ἀνδρειότητα ἐπεποιήσαμεν, ἃ ἐνθάδε οὐκ ἐνεγράψαμεν πλὴν τὰ τοσαῦτα. Διὰ τοῦτο ἐκελεύσαμεν γρα-
φῆναι, ἵνα, ὅστις μεθ' ἡμᾶς ἔσται, τοῦτο τὸ ὄνομα καὶ τὴν ἀνδρείαν καὶ τὴν δεσποτείαν τὴν ἡμετέραν ἐπιγνώσεται. Κατ' ἐκεῖνο οὖν, ὅτι οἱ θεοὶ ἡμᾶς οὕτως δαστικερτας ἔκτισαν καὶ εἰς τὴν βοήθιαν τῶν θεῶν ταῦτα τὰ τοσαῦτα ἔθνη ἐζητήσαμεν καὶ κατέχομεν, διὰ τοῦτο καὶ ἡμεῖς δὲ κατὰ ἔθνος καὶ ἔθνος πολλὰ πυρεῖα Γουαραθραν ἱδρύσαμεν καὶ πολλοῖς ἀνθρώποις μάγοις τὰ ἀγαθὰ ἐποιήσαμεν. Καὶ εἰς τοῦτο τὸ νιβυστ καθιδρύσαμεν πυρεῖον ἓν Χοστρω-σαβουρ καλούμενον εἰς ἡμετέραν μνείαν καὶ ὀνόματος συντήρησιν, πυρεῖον ἓν Χοστρω-αδουραναιδ καλούμενον εἰς
40 τὴν Ἀδουρ-αναιδ τῆς βασιλίσσης τῶν βασιλισσῶν τῆς θυγατρὸς ἡμῶν μνείαν καὶ ὀνόματος συντήρησιν καὶ πυρεῖον ἓν Χοστρω-ορμισδαρταξειρ καλούμενον εἰς τὴν Ὡρμισδαρταξιρ
τοῦ μεγάλου βασιλέως Ἀρμενίας υἱοῦ ἡμῶν μνείαν καὶ ὀνόματος συντήρησιν, ἓτ[ε]ρον πυρεῖον ἓν Χοστρω-σαβουρ καλούμενον εἰς τὴν Σαβουρ τοῦ Μησανηνῶν βασιλέως υἱοῦ ἡμῶν
μνείαν καὶ ὀνόματος συντήρησιν καὶ πυρεῖον ἓν Χοστρω-ναρση καλούμενον εἰς τὴν Ἀρίαν Μασδαασνου Ναρσαίου βασιλέως Ἰνδίας Σεγιστηνῆς Τουρηνῆς ἕως χείλους
θαλάσσης υἱοῦ ἡμῶν εἰς τὴν μνείαν καὶ ὀνόματος συντήρησ[ι]ν. Καὶ ἐκεῖνο, ὃ τούτοις τοῖς πυρίοις παρεσχόμεθα καὶ ἔθος κατεσ-
τήσαμεν, ὁμῶς πάντα
εἰς ἔνγραφον τοῦ ἀσφαλίσματος τῆς τειμῆς ἐγράψαμεν καὶ ἀπ' ἐκείνων τ[ῶ]ν χειλίων προβάτων τῶν ἀπὸ ταρκάπησιν ἐθίμων ἡμεῖν ὄντων ἡμεῖς τούτοις
45 τοῖς πυρείοις ἐδώκαμεν καὶ ἐκεῖνο ἐκελεύσαμεν, ἵνα γείνηται· εἰς τὴν μνείαν ἡμῶν πρόβατον ἡμερίσιον ἓν καὶ ἄρτων μόδιος εἷς ἥμισυς, οἴνου πασατας
τέσσερας, εἰς τὴν Σασάνου τοῦ κυρίου καὶ Παπάκου βασιλέως καὶ Σαπώρου βασιλέως Παπακαν καὶ Ἀρταξάρου βασιλέως βασιλέων καὶ Χορνανζημ τῆς τοῦ ἔθνους
βασιλίσσης καὶ Ἀδουρ-αναιδ βασιλίσσης τῶν βασιλισσῶν καὶ Δηνακης βασιλίσσης καὶ Γουαραθρανου βασιλέως Γεληνῶν καὶ Σαπώρου βασιλέως
Μησάνηνῶν καὶ Ὡρμισδ-αρταξάρου μεγάλου βασιλέως Ἀρμενίας

καὶ Ναρσαίου Σεγιστηνῶν βασιλέως καὶ Σαβουρ-δουκτακ τῆς Σεγισταν(ῶν)
βασιλίσσης καὶ Τιεσμακ τῆς κυρίας καὶ Πηρώζου τοῦ ἐκ βασιλέων καὶ Μυρρωδ κυρίας μητρὸς Σαπώρου βασιλέως βασιλέων καὶ Ναρσαίου τοῦ ἐκ βασιλέων καὶ Ῥωδ-
50 δουκτ(ακτ)ῆς θυγατρὸς Ἀνωσακ καὶ Γοραζ-δουκτ θυγατρὸς Χορνανζημ καὶ Σταριαδ βασιλίσσης καὶ Ὡρμισδακ υἱοῦ τοῦ Ἀρμενίων βασιλέως καὶ Ὡρμισδ καὶ Ὡρμισδακ καὶ
Ὀδαβαχθ καὶ Γουαραθραν καὶ Σαβουρ καὶ Πηρω[ς] τοῦ Μησανηνῶν βασιλέως υἱῶν καὶ Σαβουρ-δουκτακ θυγατρὸς τοῦ Μησανηνῶν βασιλέως καὶ Ὡρμισδ-δουκτακ θυ-
γατρὸς τοῦ Σεγιστανῶν βασιλέως τῆς μνείας πρόβατον ἕν, ἄρτων μόδιον ἕνα ἥμισυ, οἴνου πασεους τέσσαρας. Κἀκεῖνα τὰ πρόβατα, ἅπερ ἐκεῖθεν περισσεύει, ἕως ἐξαρκέσῃ,
ἐν τόσῳ εἰς τὴν μνείαν ἐκείνων, ὧν ἡμεῖς ἐκελεύσαμεν, εἰς μνείαν αὐτῶν μαγεύσωσιν. Καὶ ἐνθάδε ἐνγέγραπται καὶ συνέστηκεν·
τῶν ἐπὶ τῆς Παπάκου βασιλέως δεσποτείας ὑπ-
αρξάντων Σασάνου τοῦ Ἀρνηκαν, Φαρρεκ Φαρρικαν, Γοαρθανιπατ Ὡριγαν, Ἀσπωρικ Ἀσπωριγαν, Πωρικ Μερδιγαν, Ζιγ τοῦ διπνο-
κλήτορος, Σαπώρου Γουεζηνιγαν, Σαπώρου Μεερωζι-
55 νηγαν· καὶ τῶν ἐπὶ τῆς Α[ρ]ταξάρου τοῦ βασιλέως βασιλέων δεσποτείας ὑπαρξάντων Σαταροπτ Ἀβρηναχ βασιλέως, Ἀρταξάρου Μαρου βασιλέως, Ἀρταξιρ Κερμαν βασιλέως, Ἀρταξιρ Σιγαν
βασιλέως, Δηνικ Παβάκου τοῦ βασιλέως μητρός, Ῥωδακης τῆς Ἀρταξάρου τοῦ βασιλέως βασιλέων μητρός, Δηνακης βασιλίσσης
βασιλισσῶν Παπακαν, Ἀρταξειρ βιδιξ, Παβάκου ἀζαροπτ,
Δηην Γοράζου, Σασαν Σουρην, Σασαν Ἰνδηγαν δεσπότου, Πηρωζ Καρην, Γωωκ Καρην, Ἀβουρσαμ Ἀρταξιρουφρ, Γηλιμαν ἀπὸ Δουμβαουνδ, Ῥοξ σπαπίτου, Μαρδ διβιρουπτ, Παβακ τοῦ
δειπνοκλήτορος, Παζήρου Γουασπεριγαν, Οὐιφερου τοῦ Οὐιφεριγαν, Μερ-χουάστου τοῦ Βερησιγαν, Χουμαφρατ μαιγανπεδ, Δηραν
τοῦ ζηνιπιτ, Τζερικ τοῦ δικαστοῦ, Οὐαρδαν τοῦ ἐπὶ τῆς πάθνης, Μεερ(ι)κ Τουσσεριγαν, Ζηκ Ζαβρικαν, Σαγβους τοῦ ἐπὶ τοῦ κυνη-
γίου, Χουδικ τοῦ ἐπὶ τῆς ἀννώνης, Διεην τοῦ ἐπὶ τοῦ οἴνου· καὶ
τῶν ὑπὸ τὴν δεσποτείαν ἡμῶν γεγονότων Ἀρταξάρου βασιλέως
60 τῆς Ἀδιαβηνῆς, Ἀρταξάρου βασιλέως τῆς Κιρμανζηνῆς, Δηνακη⟨ς⟩ βασιλίσση⟨ς⟩ Μησων δαστικιρτ Σαπωρ, Ἀμαζασπου τοῦ βασι-
λέως τῆς Ἰβηρίας, Οὐαλάσσου τοῦ ἐγ βασιλέων υἱοῦ Παβάκου, Σασάνου τοῦ ἐγ βασιλέω(ν)

τοῦ ⟨εἰ⟩ς Παρικαν τραφέντος, Σασάνου τοῦ ἐγ βασιλ[έ]ων τοῦ εἰς Κιδουκαν ἀνατραφέντος, Ναρσαίου τοῦ ἐγ βασιλέων Πηρωζιγαν, Ναρσαίου τοῦ ἐγ βασιλέων Σαβουργαν, Σαπωρ πιτιάξου, Παβάκου ἀζαρίπτου, Πηρώζου ἀσπιπίδου,

Ἀρταξαρ Γουραζ, Ἀρταξαρ Σουρην, Ναρσαίου Ἀνδηγαν κυρίου, Ἀρταξαρ Καρην, Γοαννάμου ἐπιτρόπου, Φρείκου Γουε-αντιοχ-σαβωρ σατράπου, Στρηδω Σαιμούστου, Ἀρταξαρ Ἀρταξαρισ-νουμ, Παζηρ Ταμ-σαβουρ, Ἀρταξαρ Γωμαν σατράπου,

Τιασμικ Νι-σαβωρ, Γοανναμ Σαπωρ-σνουμ, Τιρ-μερ Σαρακάρτων καστελλοφύλακος, Ζικ δειπνοκλήτορος, Ἀρταβάνου τοῦ ἀπὸ Τουμβαούντων, Γυνδιφερ Ἄβγαν Ῥισμαωδ καὶ Παβις Πηρωσαβωρ Σονβεδηγαν, Γουαρζιν Γη σατράπου,

Κιρδισ⟨ρ⟩ω πιτυάξου, Παπάκου Οὐισπερηγαν, Οὐαλάσου Σλωκαν, Ἰησδιβαδ βασιλισσῶν ἀνδαρζαβιδ, Παπάκου τοῦ σπαθοφόρου, Ναρσαίου Ῥινδ σατράπου, Τιανικ Ἀμιδαν σατράπου, Γουλβαδ τοῦ ἐπὶ τῆς ὑπηρεσίας,

Διωμερδου Ῥαστιγαν, Ἀρταξάρου Γυιφεριγαν, Ἀβουρσαμ-σαβωρ τοῦ ἐπὶ τῶν δριγαιων, Ναρσαίου Βαρριγαν, Σαβωρ Ναρσηγαν, Ναρσαίου τοῦ ἐπὶ τῆς ἀννώνης, Ὡρμίζ⟨δ⟩ου τοῦ ἀρχιγραμματέως, Ναδωκ τοῦ ἐπὶ τῆς φυλακῆς, Παπακ

θυρουροῦ, Πασφερδ Πασφερδιγαν, Ἀβ⟨δ⟩αγας Δησβηδιγαν, Καρτειρ μάγου, Ῥαστακ Γυε-αρταξάρων σατράπου Ἀρταξάρου Πιτιξιγαν, Μεερχουαστ γανζοφύλακος, Σαπώρου ἐπιτρόπου, Ἀσταt Μεεραν, ἐπὶ ἐπιστολῶν, Σασαν

εὐνούχου Σασανγαν, Οὐορωδ ἀγορανόμου, Ἀρταξάρου Νηρηζ σατράπου, Βαδου Γουλιβηγαν, Κιρδειρ Ἰρδουαν, Ζαρουανδατ Βανδιγαν, Γυινναρ Σασανγαν, Μανζικ εὐνούχου, Σασάνου δικαστοῦ, Οὐαρδάνου Νασπαδιγαν, Οὐαρδικ γορα-

ζιβιδ· ὁμοῦ πρόβατον ἕν, ἄρτου μόδιον ἕνα ἥμισυ, οἴνου πασαιους τέσσαρες. Νῦν ὥσπερ ἡμεῖς ἐπὶ τὰς χρείας καὶ θρησκείας τῶν θεῶν σπουδάζομεν καὶ τῶν θεῶν κτίσμα ἐσμὲν καὶ εἰς βοήθιαν τῶν θεῶν ταῦτα πάντα τὰ

ἔθνη ἐζητήσαμεν καὶ κατέσχαμεν καὶ ὄνομα καὶ ἀνδρείαν ἐπεποιησάμεθα, κάκεῖνος δέ, ὅστις μεθ' ἡμᾶς ἔσται καὶ εὐτυχὴς ἔσται, κάκεῖνος ἐπὶ τὰς χρείας καὶ θρησκείας τῶν θεῶν σπουδασάτω, ἵνα οἱ θεοὶ βοηθοὶ

αὐτῷ ἔσονται καὶ δαστικιρτην ἑαυτῶν ποιήσωνται.

50. Lap. ΔΟΥΚΤΘΡΗC. ‖ 59. Lap. ΜΕΕΡΓΚ. ‖ 64. Lap. ΚΙΡΔΙCΠΩ. ‖ 66. Lap. ΑΒΛΑΓΑC.

BABYLONIA

324a. Dedicatio Antiocho IV(?) Epiphani, Syriae regi, a. 167/6ª. — *Babylon. OGIS* 253 cum commentario et bibliographia exhibet E. Gabba, *Iscrizioni greche e latine per lo studio della Bibbia*, 1958, 26/8 n. VII.

HYRCANIA

325. Manumissio, a. 281/261ª. — *Gorgan*, nunc in collectione privata. Lapidem calc. undique integrum, nisi quod in angulo sinistro inferiore leviter sed infeliciter fractus est, ed. L. Robert, *Hellenica* XI/XII 1960, 85/91, c. im. ph. pl. V.

Εὔανδρος Ἀνδραγόραι,
Ἀπολλοδότωι χαίρειν·
ἀφεώκαμεν Ἑρμαῖον
ἐλεύθερον ὑπὲρ βασιλέως
Ἀντιόχου καὶ βασιλίσσης
Στρατονίκης καὶ ἐκγόνων
ἱερὸν Σαράπιος καὶ ἀνατεθείκαμεν ἐν τῶι ἱερῶι
τὴν ἄφεσιν αὐτοῦ τε
[κ]αὶ τῶν ἰδίων αὐτοῦ.
.. Γορπιαίου· ἔρρωσθε.

ARACHOSIA

326. Piodasses (Aśoka), Indorum rex, decennium primum regni sui commemorat, a. 260ª vel paullo post. — *Kandahar vetus*, nunc *Kabul* in museo. Titulum bilinguem, linguis Graeca Aramaicaque expressum, qui in rupe incisus anno 1958 a paedagogo Afghanico forte inventus est, mox edidit vel animadvertit epigraphicorum cohors. Editionem enim primam mox in lucem prodiderunt G. Tucci, U. Scerrato, G. Pugliese Carratelli, G. Levi della Vida, *Un Editto bilingue greco-aramaico di Aśoka* (= *Serie Orientale Roma* XXI), 1958, c. imm. ph., ubi de textu Graeco Pugliese Carratelli, Aramaico Levi della Vida uberrime tractaverunt. Haud mora, sed dissertatione paene contemporanea eundem ed. D. Schlumberger, L. Robert, A. Dupont-Sommer, E. Benveniste, *Journal Asiatique* CCXLVI 1958, 1/48, c. imm. ph. et lapidis ipsius et ectyporum textus utriusque: de parte Graeca commentario pleno egit Robert, 7/18; textum Aramaicum examinavit Dupont-Sommer, 19/35.

Sed ante editiones paratas de inscriptione adeo insolita, ipsa titulorum omnium Graecorum maxime ad extremam partem orientis reperta, iam apud studiosos pervolgatum erat, et rem tanti momenti breviter ut commemorarent plurimi maturaverunt; quorum vid. praecipue

E. Lamotte, *La Nouvelle Clio* X/XII 1958/62, 272;

eund., *Bulletin de l'Académie royale de Belgique (Classe des Lettres)* (Ve Sér.) XLIV 1958, 363/5;

R. Mouterde, *Mélanges de l'Université St. Joseph, Beyrouth*, XXXV 1958, 245;

A. Pohl, *Orientalia* NS XXVII 1958, 420; XXVIII 1959, 216;

L. Robert, *CRAI* 1958, 189/91;

A. Dupont-Sommer, *Revue de l'histoire des Religions* CLV 1959, 136/8;

J. et L. Robert, *REG* LXXII 1959, 268/70 n. 488.

De natura tituli et historia Arachosiae ante Piodassem regem breviter tract. U. Scerrato, *Arch. Class.* X 1958, 262/6.

Praeterea textum iam editum animadvertit C. Gallavotti, *Rivista di cultura classica e medioevale* I 1959, 113/26, item *East and West* NS X 1959, 185/91 (cf. J. et L. Robert, *REG* LXXIII 1960, 205 n. 423); O. Eissfeldt, *Orientalistische Literaturzeitung* LIV 1959, col. 465/6; D. D. Kosambi, *Journal of the Economic and Social History of the Orient* II 1959, 204/6; Ch. Picard, *RA* 1959-I, 102/6, c. im. ph.; L. A. Schwarzschild, *Journal of the American Oriental Society* LXXX 1960, 155/7. De eodem etiam egit F. Zucker, *Acta Antiqua* VII 1959, 103/6, c. im. ph., et textum cum commentario brevissimo exhibuit J. Pouilloux, *Choix d'Inscriptions grecques*, 1960, 165/6 n. 53. Cf. J. M. Cook, *The Greeks in Ionia and the East*, 1962, 165/7.

Textus quoque Aramaicus commentatores suos habuit, inter quos praecipue sunt nominandi F. Altheim et R. Stiehl; namque illi iterum iterumque rem studii dignissimam susceperunt, *East and West* NS IX 1958, 192/8, c. imm. ph.; *ibid.* NS X 1959, 243/60 (cf. J. et L. Robert, *REG* LXXIII 1960, 205 n. 422); *Acta Antiqua* VII 1959, 107/26; *Die Aramäische Sprache unter den Achaimeniden*, I, 1963, 21/32. Vid. etiam Altheim, *Geschichte der Hunnen*, I, 1959, 397/408; P. Nober, *Verbum Domini* XXXVII 1959, 369/77.

Δέκα ἐτῶν πληρη.... ων βασιλεὺς
Πιοδάσσης εὐσέβειαν ἔδειξεν τοῖς ἀν-
θρώποις, καὶ ἀπὸ τούτου εὐσεβεστέρους
τοὺς ἀνθρώπους ἐποίησεν καὶ πάντα
εὐθηνεῖ κατὰ πᾶσαν γῆν· καὶ ἀπέχεται
βασιλεὺς τῶν ἐμψύχων καὶ οἱ λοιποὶ δὲ
ἄνθρωποι, καὶ ὅσοι θηρευταὶ ἢ ἁλιεῖς
βασιλέως πέπαυνται θηρεύοντες, καὶ
εἴ τινες ἀκρατεῖς πέπαυνται τῆς ἀκρα-

σίας κατὰ δύναμιν, καὶ ἐνήκοοι πατρὶ
καὶ μητρὶ καὶ τῶν πρεσβυτέρων παρὰ
τὰ πρότερον, καὶ τοῦ λοιποῦ λώϊον
καὶ ἄμεινον κατὰ πάντα, ταῦτα
ποιοῦντες, διάξουσιν.

sequuntur textus Aramaici
versus octo

1. πληρη[θέντ]ων Robert: πληρ⟨ω⟩[θέντ]ων vel πληρη[θέντ]ων Pugliese Carratelli: πληρ⟨ου⟩[μέν]ων vel πληρη[μέν]ων Gallavotti, qui etiam de πλήρη[ς ὄντ]ων cogitavit: πληρηθ[έν]των Altheim et Stiehl: post ΠΛΗΡΗ in im. ph. ectypi reliquiae litterae *sigma* discernendae videntur, nisi loco mutilo lapidis fallimur. | 11 12 sic interpungit Gallavotti — καὶ τῶν πρεσβυτέρων. παρὰ τὰ πρότερον καὶ τοῦ λοιποῦ κτλ.

SYRIA

327. Tit. sepulcralis, ex. s. II^p. — *Gaziantep*, nunc *Adana* in museo. SEG XVIII 597. Ad initium tituli non βίου τ' sed Βρουτ, i.e. Βρούτ(τιος), ex im. ph. legit L. Robert, *REA* LXII 1960, 346/51, qui de nominibus Romanis apud titulos Graecos abbreviatis commentaria pauca addit.

328-353. Titulos complures, quorum plerique precationes Christianorum exhibent, in regione septentrionali Syriae exscripsit G. Tchalenko, et ex apographis eius ed. H. Seyrig apud Tchalenko, *Villages antiques de la Syrie du nord*, III, 1958, 2/44 (Appendice II), additis indicibus 45/9 et delineationibus titulorum vel tabulis geographicis locorum 51/62 et (vol. II) pl. CXLII/CL. De volumine hoc tertio operis totius vid. J. et L. Robert, *REG* LXXII 1959, 261/3 n. 459; J. B. Ward Perkins, *AJA* LXIV 1960, 212.; R. Mouterde, *Mélanges de l'Université St. Joseph, Beyrouth*, XXXV 1958, 240/2.

Titulos ut a Seyrig editos infra exhibemus, nisi qui in *IGLS* iam sunt comprehensi; illis ideirco numerum in *IGLS* datum commemoramus.

328. Dedicatio, s. II/III^p. — *Brâd*. Fragmentum ab utroque latere mutilum et postea in ecclesia Christiana inaedificatum; Seyrig 5 n. 3, c. del. pl. CXLII.

-----ου Γελαυκος----------
[--ἐ]πιμεληταὶ τὸν βω[μόν---].

1. Fortasse Γ[ε]λαῦκος scribendum est.

329. Dedicatio, aet. eiusdem. — *Brâd*, eadem in ecclesia inv. Fragmentum a sinistra integrum sed alibi mutilum; Seyrig 4 n. 2, c. del. pl. CXLII.

νο..ω ---
θεῷ εὐ[χήν(?) --]

---

330. Tit. aedificatorius, aet. imp. Rom. — *Ibid.* Fragmentum arcus parvi; Seyrig 5 n. 4, c. del. pl. CXLII.

[---- ἀρ]χιτέκτω[ν----]

---

